650 ## ΠΡΟΒΛΗΜΑ Γ

*Διὰ τί γυναῖκες ἥκιστα μεθύσκονται τάχιστα δ' οἱ γέροντες*

Collocuntur Florus et Sulla

**1.** *Ἐθαύμαζε Φλῶρος, εἰ γεγραφὼς Ἀριστοτέλης ἐν τῷ περὶ μέθης* (fr. 108), *ὅτι μάλιστα μὲν οἱ γέροντες ἥκιστα δ' αἱ γυναῖκες ὑπὸ μέθης ἁλίσκονται, τὴν αἰτίαν οὐκ ἐξειργάσατο μηδὲν εἰωθὼς προΐεσθαι τῶν τοιούτων· εἶτα μέντοι προὔβαλεν ἐν μέσῳ σκοπεῖν τοῖς παροῦσιν. ἦν δὲ τῶν συνήθων τὸ δεῖπνον. ἔφη τοίνυν ὁ Σύλλας θατέρῳ θάτερον ἐμφαίνεσθαι· κἂν εἰ περὶ τῶν γυναικῶν ὀρθῶς τὴν αἰτίαν λάβοιμεν, οὐκ ἔτι πολλοῦ λόγου δεήσεσθαι περὶ τῶν γερόντων· ἐναντίας γὰρ εἶναι μάλιστα τὰς*
B *φύσεις τῇ θ' ὑγρότητι καὶ ξηρότητι ⟨καὶ λειότητι⟩ καὶ τραχύτητι καὶ μαλακότητι καὶ σκληρότητι. ʽκαὶ τοῦτ'ʼ ἔφη ʽλαμβάνω κατὰ τῶν γυναικῶν πρῶτον, ὅτι τὴν κρᾶσιν ὑγρὰν ἔχουσιν, ἣ καὶ τὴν ἁπαλότητα τῆς σαρκὸς ἐμμεμιγμένη παρέχει καὶ τὸ στίλβον ἐπὶ λειότητι καὶ τὰς καθάρσεις· ὅταν οὖν ὁ οἶνος εἰς ὑγρότητα πολλὴν ἐμπέσῃ, κρατούμενος ἀποβάλλει τὴν βαφὴν καὶ γίνεται παντάπασιν ἀναφὴς καὶ ὑδατώδης. ἔστι δέ τι καὶ παρ' αὐτοῦ λαβεῖν Ἀριστοτέλους· τοὺς γὰρ ἄθρουν καὶ ἀπνευστὶ πίνοντας, ὅπερ ʽἀμυστίζειν' ὠνόμαζον οἱ παλαιοί, φησὶν ἥκιστα περιπίπτειν μέθαις· οὐ γὰρ ἐνδιατρίβειν τὸν*
C *ἄκρατον αὐτοῖς, ἀλλ' ἐξωθούμενον ῥύμῃ διαπορεύεσθαι διὰ τοῦ σώματος· ἐπιεικῶς δὲ τὰς γυναῖκας ὁρῶμεν οὕτω πινούσας. εἰκὸς δ' αὐτῶν καὶ τὸ σῶμα διὰ τὸν ἐνδελεχῆ*